## ΚΕΦ. γ'.

Ἀκούσας ταῦτα ὁ Κριτόβουλος εἶπε· νῦν τοι, ἔφη, ἐγώ σε οὐκέτι ἀφήσω, ὦ Σώκρατες, πρὶν ἄν μοι ἃ ὑπέσχησαι ἐναντίον τῶν φίλων τουτωνὶ ἀποδείξῃς. τί οὖν; ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἢν σοι ἀποδεικνύω πρῶτον μὲν οἰκίας τοὺς μὲν ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστους οἰκοδομοῦντας, τοὺς δὲ ἀπὸ πολὺ ἐλάττονος πάντα ἐχούσας, ὅσα δεῖ, ἦ δόξω ἕν τί σοι τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδεικνύναι; καὶ πάνυ γ', ἔφη ὁ Κριτόβουλος.

β'. Τί δ', ἢν τὸ τούτου ἀκόλουθον μετὰ τοῦτό σοι ἐπιδεικνύω, τοὺς μὲν πάνυ πολλὰ καὶ παντοῖα κεκτημένους ἔπιπλα, καὶ τούτοις, ὅταν δέονται, μὴ ἔχοντας χρῆσθαι, μηδὲ εἰδότας, εἰ σῶά ἐστιν αὐτοῖς, καὶ διὰ ταῦτα πολλὰ μὲν αὐτοὺς ἀνιωμένους, πολλὰ δὲ ἀνιῶντας τοὺς οἰκέτας· τοὺς δὲ, οὐδὲν πλέον, ἀλλὰ καὶ μείονα τούτων κεκτημένους, ἔχοντας εὐθὺς ἕτοιμα, ὅταν ὧν ἂν δέονται, χρῆσθαι.

γ'. Ἀλλὰ τί οὖν τούτων ἐστὶν, ὦ Σώκρατες, αἴτιον, ἢ ὅτι τοῖς μὲν ὅπου ἔτυχεν ἕκαστον καταβέβληται, τοῖς δὲ ἐν χώρᾳ ἕκαστα τεταγμένα κεῖται; ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης. καὶ οὐδ' ἐν χώρᾳ γ', ἐν ᾗ ἔτυχεν, ἀλλ' ἔνθα προσήκει, ἕκαστα διατέτακται. λέγειν τί μοι δοκεῖς, ἔφη, καὶ τοῦτο, ὁ Κριτόβουλος, τῶν οἰκονομικῶν.

δ'. Τί